πῶς ἀντὶ μὲν γενέσεως ζῴων ἐξήγαγεν ἡ γῆ σκνῖπα,
ἀντὶ δὲ ἐνύδρων ἐξηρεύξατο ὁ ποταμὸς πλῆθος βατράχων.
11 ἐφ᾽ ὑστέρῳ δὲ εἶδον καὶ γένεσιν νέαν ὀρνέων,
ὅτε ἐπιθυμίᾳ προαχθέντες ᾐτήσαντο ἐδέσματα τρυφῆς·
12 εἰς γὰρ παραμυθίαν ἐκ θαλάσσης ἀνέβη αὐτοῖς ὀρτυγομήτρα.
13 Καὶ αἱ τιμωρίαι τοῖς ἁμαρτωλοῖς ἐπῆλθον
οὐκ ἄνευ τῶν προγεγονότων τεκμηρίων τῇ βίᾳ τῶν κεραυνῶν·
δικαίως γὰρ ἔπασχον ταῖς ἰδίαις αὐτῶν πονηρίαις,
καὶ γὰρ χαλεπωτέραν μισοξενίαν ἐπετήδευσαν.
14 οἱ μὲν γὰρ τοὺς ἀγνοοῦντας οὐκ ἐδέχοντο παρόντας·
οὗτοι δὲ εὐεργέτας ξένους ἐδουλοῦντο.
15 καὶ οὐ μόνον, ἀλλ᾽ ἥ τις ἐπισκοπὴ ἔσται αὐτῶν,
ἐπεὶ ἀπεχθῶς προσεδέχοντο τοὺς ἀλλοτρίους·
16 οἱ δὲ μετὰ ἑορτασμάτων
εἰσδεξάμενοι τοὺς ἤδη τῶν αὐτῶν μετεσχηκότας δικαίων
δεινοῖς ἐκάκωσαν πόνοις.
17 ἐπλήγησαν δὲ καὶ ἀορασίᾳ
ὥσπερ ἐκεῖνοι ἐπὶ ταῖς τοῦ δικαίου θύραις,
ὅτε ἀχανεῖ περιβληθέντες σκότει
ἕκαστος τῶν ἑαυτοῦ θυρῶν τὴν δίοδον ἐζήτει.
18 Δι᾽ ἑαυτῶν γὰρ τὰ στοιχεῖα μεθαρμοζόμενα,
ὥσπερ ἐν ψαλτηρίῳ φθόγγοι τοῦ ῥυθμοῦ τὸ ὄνομα διαλλάσσουσιν,
πάντοτε μένοντα ἤχῳ,
ὅπερ ἐστὶν εἰκάσαι ἐκ τῆς τῶν γεγονότων ὄψεως ἀκριβῶς·
19 χερσαῖα γὰρ εἰς ἔνυδρα μετεβάλλετο,
καὶ νηκτὰ μετέβαινεν ἐπὶ γῆς·
20 πῦρ ἴσχυεν ἐν ὕδατι τῆς ἰδίας δυνάμεως,
καὶ ὕδωρ τῆς σβεστικῆς φύσεως ἐπελανθάνετο·
21 φλόγες ἀνάπαλιν εὐφθάρτων ζῴων
οὐκ ἐμάραναν σάρκας ἐμπεριπατούντων,
οὐδὲ τηκτὸν κρυσταλλοειδὲς εὔτηκτον γένος ἀμβροσίας τροφῆς.
22 Κατὰ πάντα γάρ, κύριε, ἐμεγάλυνας τὸν λαόν σου καὶ ἐδόξασας
καὶ οὐχ ὑπερεῖδες ἐν παντὶ καιρῷ καὶ τόπῳ παριστάμενος.

$10^{2}$ σκν(ε)ιπα B†] σκνιφα S*, σκνιφας AS$^{c}$: cf. Ps. 104 31 et Thack. § 7, 18 | $10^{3}$ ανυδρων A† | πληθος βατραχων] βατραχους S*† || $11^{1}$ γεν. νεαν] tr. BS || 12 εκ θαλ. ανεβη αυτοις] αν. αυτοις απο θαλ. BA || $13^{2}$ προγεγον.] προ > B | των $2^{0}$ > S$^{c}$† | $13^{3}$ αυτων πον.] tr. S† | $13^{4}$ γαρ > S || $16^{2}$ των αυτων μετεσχ.] μετεσχ. των S† || $17^{4}$ εαυτου] ε > BS || $18^{3}$ παντα S$^{c}$V† | ηχω] pr. εν S$^{c}$V || $19^{2}$ επι γης] εις γην S* || $20^{1}$ ισχυσεν B | δυν.] + επιλελησμενον A pl. | $20^{2}$ φυσ.] δυναμεως B || $21^{3}$ κρυστ. ευτηκτον] tr. B*† | τρυφης S*†
Subscr. σοφια σαλωμωνος B†, σοφ. σαλομωντος S†, σοφ. σολομωνος AV†, σοφ. σολομωντος C: cf. inscr.